# Η ίδρυση της Κωνσταντινούπολης

Δύο δὲ καὶ ἑξήκοντα καὶ τριακοσίων ἐτῶν ἀπὸ τῆς Αὐγούστου Καίσαρος μοναρχίας διεληλυθότων τῇ πρεσβυτέρᾳ Ῥώμῃ καὶ τῶν πραγμάτων αὐτῆς ἤδη πρὸς πέρας ἀφιγμένων Κωνσταντῖνος ὁ Κωνσταντίου παῖς ἐπιλαβόμενος τῶν σκήπτρων τὴν νέαν ἀνίστησι Ῥώμην Κωνσταντινούπολιν λεγομένην προθύμως ἀνασχομένην τὴν προσηγορίαν.

Θαυμαστὴν γὰρ αὐτὴν ἀπεργασάμενος τῷ κάλλει πόρρωθέν τε μεταγαγὼν τὰ τείχη κατὰ τοὺς λεγομένους Τρωαδησίους ἐμβόλους λουτρά τε καὶ ἱεροὺς οἴκους ἀπέδειξεν, καθὰ καὶ ἐν τῷ Στρατηγίῳ λεγομένῳ φόρῳ, ἔνθα ποτὲ οἱ στρατηγοῦντες ἄνδρες τὰς τιμὰς ὑπεδέχοντο, ἐπὶ λιθίνης ἀνέγραψε στήλης.

Καὶ τῆς μητρὸς αὐτοῦ Ἑλένης ἐπὶ κίονος ἀνέστησεν ἄγαλμα καὶ τὸν τόπον ὠνόμασεν Αυγουστίωνα· καὶ τοῖς ἀκολουθήσασιν αὐτῷ ἄρχουσιν ἀπὸ Ῥώμης συγκλητικοῖς ἐφιλοτιμήσατο οἴκους, οὓς αὐτὸς ἔκτισεν ἐξ ἰδίων χρημάτων, οὕσπερ μετ’ ὀλίγον ἐροῦμεν.

Ἐπὶ δὲ τούτῳ καὶ ὁ τῶν ὑδάτων ὁλκὸς προσετέθη τῇ πόλει, ἀνέστησαν δὲ καὶ αἱ δύο ἀψίδες πρὸς τῷ καλουμένῳ Φόρῳ καὶ ὁ πορφυροῦς καὶ περίβλεπτος κίων, ἐφ’ οὗπερ ἵδρυται Κωνσταντῖνος· ὂν ὁρῶμεν δίκην Ἡλίου τοῖς πολίταις ἐκλάμποντα.

[Τοῦτο γοῦν τὸ ἄγαλμα κατέπεσεν ἀπὸ τοῦ κίονος καὶ φόνον τῶν ἐκεῖσε παρευρεθέντων ἀνδρῶν τε καὶ γυναικῶν ὡσεὶ δέκα εἰργάσατο κατὰ τὴν πέμπτην δηλαδὴ τοῦ Ἀπλριλλίου μηνός, τῆς τεσσαρεσκαιδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ τεσσαρεσκαιδεκάτου ἔτους (1106), εἰκοστὸν ἔτος ἀγούσης τῆς βασιλείας τοῦ κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ. Ὥρα ἦν ὡσεὶ τρίτη, ὅτε καὶ γνόφος γέγονεν καὶ βίαιος νότος ἔπνευσε σφοδρόν, τοῦ κομήτου ἀστέρος τοῦ Ἀκοντίου κληθέντος καὶ τὸν τοιοῦτον τοῦ ἀέρος τάραχον ἐξεργασαμέου, τοῦ φανέντος κατὰ τὴν ἑσπέραν τῆς Παρασκευῆς τῆς πρώτης ἑβδομάδος· καθ’ ἣν ἐνάτην εἶχεν ὁ Φεβρουάριος μὴν τῆς τεσσαρεσκαιδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ τεσσαρεσκαιδεκάτου ἔτους· καὶ οὕτω διηρκέσατο.]

Ἐπὶ τούτοις καὶ τοὺς τῆς συγκλήτου βουλῆς ἀνῳκοδόμησεν οἴκους Σενάτον τούτους ὀνομάσας, ἐν οἷς καὶ τὸ Δωδωναίου Διὸς ἀνέστησεν ἄγαλμα καὶ δύο τῆς Παλλάδος ἱδρύματα, καὶ τὴν τῶν βασιλείων αὐλήν.

Ἐφιλοτιμήσατο δὲ τῷ δήμῳ καθ’ ὅν ὑπάτευσε χρόνον ἄρτους ἡμερησίους, ὀνομάσας αὐτοὺς παλατίνους ὡς ἐκ τοῦ παλατίου χορηγούμενους, καὶ οἶνον καὶ κρέας καὶ ἔλαιον καὶ σιτηρέσια τάξας, ὧν καὶ μέχρι τοῦ νῦν ἡ πόλις ἀπολαύει τῶν ὑπ’ αὐτοῦ ῥιφέντων καλάμων φέρουσα τὰ γνωρίσματα, νόμους τε πολλοὺς καὶ συμβόλαια <περὶ τῶν> καθ’ ἑκάστην τιθεὶς ἀπὸ τοῦ βελτίστου καὶ δικαίου, τείχεσίν τε μεγίστοις περιβαλὼν τὴν πόλιν καὶ διαφόροις κοσμήσας τρόποις ὡς πρὸς ζῆλον ἀπεργάσασθαι τῆς πρεσβυτέρας Ῥώμης.

Ὠκοδόμησεν δὲ παραχρῆμα καὶ ἱεροὺς οἴκους ἕνα μὲν ἐπώνυμον τῆς ἁγίας Εἰρήνης, ἕτερον δὲ τῶν Ἀποστόλων· καὶ τὰ τῶν Ἑλλήνων πάντα κάθεῖλε θρησκεύματα, πολλοὺς δὲ ναοὺς ἀνήγειρεν, οὕστινας εἴπωμεν μετ’ ὀλίγον.

Ἔκτισε δὲ δρομικὴν τὴν ἁγίαν Σοφίαν καὶ ξυλόστεγον. (...)

Χρὴ δὲ γινώσκειν ὅτι τῷ ,εωλζ΄(5837) ἔτει τοῦ κόσμου, τῷ τρίτῳ μηνὶ τῆς δευτέρας ἐπινεμήσεως, τῇ εἰκοστῇ ἕκτῃ τοῦ Νοεμβρίου μηνός, ἡμέρᾳ Τετάρτῃ, ὄντος τοῦ ἡλίου εἰς τοῦ τοξότου τὸ ζῷδον (ὡροσκόπει δὲ Καρκῖνος), τὸ πρῶτον ἔτος τῆς σξε’ (265) ὀλυμπιάδος, ἐπήξαντο τοὺς θεμελίους τῶν δυτικῶν τειχῶν τῆς Κωνσταντινουπόλεως. Καὶ ιθ΄ μησὶ τό τε χερσαῖον καὶ παράλιον τεῖχος μετὰ καὶ πλείστων οἰκοδομημάτων τῶν ἐν τῇ πόλει δομηθέντων ἀπαρτίσαντες, τῇ ἑνδεκάτῃ τοῦ Μαΐου μηνὸς τὰ ἐγκαίνια τῆς πόλεως γεγόνασι καὶ προσηγορεύθη ἡ πόλις Κωνσταντινούπολις. (...)

Βουλόμενος δὲ κτίσαι ἱππικὸν κατὰ μίμησιν τῆς Ῥώμης εὗρεν τὸ τοῦ Σευήρου καὶ ἀνεπλήρωσεν αὐτὸ ἤγουν τὸ ἕν μέρος τῶν βαθμίδων καὶ τῶν δύο περιπάτων καὶ τὸ ἄνω τῶν καγκέλλων καὶ τὸν Σφενδόνα καὶ τοὺς καμπτῆρας καὶ τοὺς δήμους.

Πάντα δὲ τὰ χαλκουργεύματα καὶ τὰ ξόανα ἐκ διαφόρων ναῶν καὶ πόλεων ἀθροίσας ἔστησεν αὐτὰ εἰς διακόσμησιν τῆς πόλεως, ὁμοίως δὲ καὶ τοὺς κίονας τῶν περιπάτων· ἐπάτωσε δὲ τοὺς αὐτοὺς περιπάτους μετὰ συγκοπῆς. Καὶ ἐπετέλεσεν αὐτὸς πρῶτος γυμνικὸν καὶ ἱππικὸν ἀγῶνα. (...)

Αποσπάσματα από τα *Πάτρια Κωνσταντινουπόλεως*, Βιβλίο Α΄ (εκδ. Th. Preger, *Scriptores originum Constantinopolitanarum*, Λειψία 1901)